eul_wid: oow-ae

*Φίλων ὁ Βύβλιος* · Philon of Byblos

# On the Knowledge of Ages

*Γνῶσις περὶ ἡλικιῶν*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine (frg)
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

1 ΕΡΕΝΝΙΟΥ ΦΙΛΩΝΟΣ ΓΝΩΣΙΣ ΤΩΝ ΗΛΙΚΙΩΝ Βρέφος μὲν τὸ γεννηθὲν εὐθέως, παιδίον 〈δὲ〉 τὸ τρεφόμενον ὑπὸ τῆς τιθηνοῦ ἔτι, παιδάριον 〈δὲ〉 τὸ ἤδη περιπατοῦν καὶ τῆς λέξεως ἀντεχόμενον, παιδίσκος δὲ ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ, παῖς δὲ ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι. τὰ δὲ ἐχόμενα ταύτης οἱ μὲν πάλληκα, οἱ δὲ βούπαιδα, οἱ δὲ ἀντίπαιδα, οἱ δὲ μελλέφηβον καλοῦσιν. ὁ δὲ μετὰ ταῦτα ἔφηβος· Κυρηναῖοι δὲ τοὺς ἐφήβους τριακατίους καλοῦσιν, Κρῆ τες δὲ ἀποδρόμους διὰ τὸ μηδέπω τῶν κοινῶν μετασχεῖν δρόμων. μεῖραξ δὲ ἢ μειράκιον ὁ μετὰ ταῦτα, εἶτα νεανίσκος, εἶτα ἀνὴρ μέσος, εἶτα προβεβηκώς—ὃ καὶ ὠμογέρων—, εἶτα γέρων, εἶτα πρεσβύτης, εἶτα ἐσχατόγηρως.